Κοντάκιον· Πρὸς τὸ Τῇ ὑπερμάχῳ.

Τῶν θεολόγων τὰ θεόσοφα συγγράμματα
ὡς θεορρήμων ἀληθὴς ἐνστερνισάμενος,
τὴν ἐκπόρευσιν τοῦ πνεύματος τοῦ ἁγίου
ἀνεκήρυξας ὡς θέμις, παναοίδιμε,
καὶ τὸ πάνσεπτον ἐπεσφράγισας σύμβολον.
διὸ μέλπομεν·
χαῖρε, Μάρκε θεσπέσιε: +

+ Ὁ οἶκος.

Ἄγγελος μὲν τὸ χαῖρε παραστὰς προσεφώνει
ποτὲ τῇ θεοτόκῳ σὺν φόβῳ·
ἐγὼ δὲ ἐξ ἀνθρώπων ὁρῶν
ὑπὲρ φύσιν σε φανέντα ὡς ἄγγελον
ἐξίσταμαι ὡς ἄνθρωπος
καὶ μέλπω σοι σὺν πόθῳ τάδε·
χαῖρε, ἁγνείας σεμνῆς δοχεῖον·
χαῖρε, σοφίας Θεοῦ ταμεῖον·
χαῖρε, θεολόγων ἁγίων ἐκσφράγισμα·
χαῖρε, διδασκάλων πατέρων συμπέρασμα·
χαῖρε, πέλαγος ἀμέτρητον ἐννοιῶν πνευματικῶν·
χαῖρε, θάλασσα εὐρύχωρος τῶν γραφῶν τῶν μυστικῶν·
χαῖρε, ὅτι ἐδείχθης ἐκκλησίας φῶς μέγα·
χαῖρε, ὅτι ἐλέγχεις μέχρι νῦν ἀντιδόξους·
χαῖρε, πηγὴ δογμάτων τῆς πίστεως·
χαῖρε, σφαγὴ καινῶν ἐφευρέσεων·
χαῖρε, δι' οὗ ἐστηρίχθημεν πάντες·
χαῖρε, δι' ὃν ἡ ἀλήθεια λάμπει·
χαῖρε, Μάρκε θεσπέσιε.
Ὁ τοὺς διδασκάλους ἀληθῶς δοξάσας
ἐν οὐρανοῖς δοξάζεται νῦν σὺν τούτοις.
Ἀρχιερῆα φίλον Πρόδρομος λάβεν εἰκάδι τρίτῃ.

Οὗτος ὁ μέγας ζωῆς φωστὴρ ἐν κόσμῳ καὶ φῶς καὶ καλὸν ἅλας φανεὶς τῇ ἐκκλησίᾳ Χριστοῦ καὶ γενναῖος τῆς ἀληθείας ὑπέρμαχος καὶ τῆς οἰκουμένης ἁπάσης κοινότατος ἥλιος ἐξέλαμψε μὲν ἐκ τῆς μεγάλης καὶ βασιλίδος πόλεως, ταύτης δὴ τῆς περιωνύμου Κωνσταντινουπόλεως,

2. θεόσαφα διδάγματα A, qui tamen διδάγματα in συγγράμματα corr. vult.
23. κακοδόξους B.
25. ἐφευρές ex ἀντιδ corr. A.
29. sq. Hos versus et quod sequitur synaxarium solus exhibet A.